Πασχάλη, Χρονικά Κωδ. Άνδρου
«Ανδρ. Ήμερ.» (1930), σ. 29

Ζυγομαλάς
Θεοδόσιος

Υπό Πασχάλη δημοσιεύεται ένθ' ανωτ., υπ' αριθ. 21, σημείωμα εκ κώδικος υπ' αριθ. 99, φ. 142β, της εν Γαυρείω Άνδρου μονής της Αγίας:
« Τό παρόν βιβλίον υπάρχει της σεβασμίας μονής της Παναγίας της Αγίας της έν τη νήσω Άνδρω, ήτις πρότερον μέν παλαιά ούσα καί σημείον μόνον φέρουσα ναού, καί άδομένη καί όνομαζομένη άγία, διά συνδρομής καί μερικής δαπάνης Μακαρίου του μοναχού του κατά κόσμον Ντελλαγραμμάτικα Δομένεγου καί του λογιωτάτου Ζυγομαλοπούλου, του έπ' όνομασθέντος Ζυγομαλίνου μοναχού, καί της έλεημοσύνης των χριστιανών άνεκαινίσθη καί ώκοδομήθη, καί εις ό νυν όραται σήμερον δυνάμει θεού ήλθε, μετά τε του πλησίον πύργου καί τινων κελλίων των ένασκουμένων καί της περιοχής του τοίχου καί τινων άφιερωμάτων εις σύστασιν ταύτης της θείας μονής της Αγίας· έν ή ένασκούνται την σήμερον,

./.

Ακαδημία Αθηνών / Academy of Athens

ἐπισκοπεύοντος Ἄνδρου τοῦ θεοφιλεστάτου ἐπισκόπου Ἄνδρου κυροῦ Ἀρσενίου, καὶ ἡγουμενεύοντος τῇ θείᾳ ταύτῃ μονῇ τοῦ ὁσιωτάτου ἐν ἱερομονάχοις καὶ πνευματικοῦ κυροῦ Ἰωσήφ, μοναχοὶ ὡς εἰ πεντεκαίδεκα, τρέχοντες τὸν τῆς ἀρετῆς δρόμον καὶ Θεοῦ δεόμενοι ὑπέρ τε ἑαυτῶν καὶ λοιπῶν χριστιανῶν, ἐλεημοσύνῃ προσέχοντες καθημέραν καὶ παρέξαι τῶν ἀναγκαίων διατροφῶν τῶν καθ᾽ ἑκάστην διαπερόντων τὴν νῆσον ταύτην Ἄνδρον, ἐπεὶ ἐν ὁδῷ ἔστιν· ὁ δὲ τῶν ὅλων Θεός ὁ ἐκ τοῦ μὴ ὄντος τὰ πάντα παραγαγὼν καὶ ταύτην αὐξήσειε καὶ οὐδὲν ἔλαττον δείξειε τῶν πάλαι ᾀδομένων ναῶν, εἰς δόξαν Θεοῦ, οὗ δὴ βοηθείᾳ καὶ ἐγὼ <u>Θεοδόσιος</u> πρωτονοτάριος τῆς μεγάλης ἐκκλησίας ἐξαρχικῶς τὰς νήσους διερχόμενος ἔφθασα ἐλθεῖν εἰς προσκύνησιν τῆς θείας ταύτης μονῆς τῆς Παναγίας μου τῆς λεγομένης Ἁγίας καὶ ταῦτα πεισθεὶς ἐσημειωσάμην μνήμης ἕνεκα κατὰ τὸ ,ζπε$^{ον}$ ἔτος, μηνὶ μαΐῳ, ἰνδικτιῶνος ε$^{ης}$ (= 1577).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ